πήματ', ἀπωλέσατ' ὠλέσατ'· οὐκέτι μοι βίος
ἀγαστὸς ἐν φάει.
ὦ τλάμων ἄγησαί μοι
πούς, ἄγησαι τᾷ γραίᾳ
πρὸς τάνδ' αὐλάν· ὦ τέκνον, ὦ παῖ
δυστανοτάτας ματέρος, ἔξελθ'
ἔξελθ' οἴκων· ἄιε ματέρος
αὐδάν, ὦ τέκνον, ὡς εἰδῇς
οἵαν οἵαν ἀΐω φάμαν
περὶ σᾶς ψυχᾶς.

ΠΟΛΥΞΕΝΗ.

ἰώ,
μᾶτερ μᾶτερ, τί βοᾷς; τί νέον
καρύξασ' οἴκων μ' ὥστ' ὄρνιν
θάμβει τῷδ' ἐξέπταξας;
ΕΚ. οἴμοι, τέκνον.
ΠΛΞ. τί με δυσφημεῖς; φροίμιά μοι κακά.
ΕΚ. αἰαῖ, σᾶς ψυχᾶς.
ΠΛΞ. ἐξαύδα, μὴ κρύψῃς δαρόν.
δειμαίνω δειμαίνω, μᾶτερ,
τί ποτ' ἀναστένεις.
ΕΚ. τέκνον τέκνον μελέας ματρός.
ΠΛΞ. τί τόδ' ἀγγέλλεις;
ΕΚ. σφάξαι σ' Ἀργείων κοινὰ

---

167 πήματα libri | ἀπωλέσατε ὠλέσατε G ἀπολέσατ' ὀλέσατ' E ω bis sup. ο scr. E[1] ἀπωλέσατ' ἀπωλέσατ' L ἀπολέσατ' ἀπολέσατ' l | οὐδέτι A 169 τλάμων A] τλᾶμον BE τλῆμον LG τλήμων l 169—70 ἄγησαι L] ἄγησαι r 170 ποὺ E ποῦ B | ἄγησαι μοι B | τῇ B τᾷ b 171 sqq. cf. Aristoph. nub. 1165 cum schol. 172 ματέρος] μρς B 173 ἔξελθε G | verba ἄιε — τέκνον om. G, add. in marg. man. recentissima | ματρός L 174 εἰδῇς A[2]] ἴδῃς r (in E non extat versus, quia cod. mutilus) 175 οἵαν οἵαν om. A, in marg. post εἰδῇς add. A[2] 176 ψυχῆς B 177 ἰώ] ὦ G 178 κηρύξασ' AG η in α corr. A[2] κηρύξουσ' rec. | μ' om. B add. b | ὅστ' L 179 τῶνδ' Reiskius animadv. ad Eur. p. 1. 180 ὤμοι B 181 με om. B μοι LG | μοι om. E sup. vers. add. E[2] 182 αἰαῖ] αἶ αἶ A αἶ αἶ E αἲ αἲ r | ψυχᾶς] ψυχᾶς πέρι G 186 τέκνον τέκνον Hermannus] ὦ τέκνον τέκνον libri | μ*τρὸς E ματρός E[1] μητρὸς LG 187 τόδ'] ποτ' Nauckius stud. Eur. I p. 5 | ἀγγέλεις A alterum λ add. A[2] 188—90 et 194—96 suas invicem sedes permutare iubet Reisigius coniectan. in Aristoph. I p. 288, quem